# 23 APRILIE

# IMNE
# SF.MARE MUCENIC GHEORGHE DE LA CAPADOCIA



www.tezaurliturgic.ro

# «ΥΜΝΟΙ»
# ΤΩ ΑΓΙΩ ΜΕΓΑΛΟΜΑΡΤΥΡΙ ΓΕΩΡΓΙΩ ΤΩ ΤΡΟΠΑΙΟΦΟΡΩ

Ψαλλόμενοι πρὸς τὸ «Ἁγνὴ Παρθένε Δέσποινα»
Ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης
Ὧν ἡ ἀκροστιχίς:
«Ταῖς σαῖς πρεσβείαις σκέπε με Γεώργιε ἐν βίῳ. Ἰσιδώρας»

Τῶν ἀθλητῶν ἀγλάϊσμα Μαρτύρων ὡραιότης,
Ἀγγέλων τε συνόμιλος Γεώργιε ὑπάρχεις.

**Χαίροις Μάρτυς Γεώργιε**

Αἷμα σου τὸ μαρτυρικὸν Κυρίῳ σου προσάξας,
Πνεῦμα τὸ θεῖον ἔλαβες Γεώργιε πλουσίως.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἱερωτάτη προσφορὰ Κυρίῳ σου προσήχθης,
Γεώργιε ὡς λογικὸς ἀμνὸς ἐθελουσίως.

**Χαίροις Μάρτυς Γεώργιε**

Στῦλος ὑπάρχων ἄσειστος πίστεως τῆς ἀμώμου,
στερέωσον ἐν πίστει με Γεώργιε εὐχαῖς σου.

**Χαίροις Μάρτυς Γεώργιε**

Στολὴν λαμπρύνας σῆς ψυχῆς Γεώργιε ἐν ἄθλοις,
εὐπρέπισον τῆς ἀκαλοῦς ψυχῆς μου τὸν χιτῶνα.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἀνεμποδίστως διαβὰς τρίβον τοῦ μαρτυρίου,
πλάτος οἰκεῖς Γεώργιε τοῦ θείου Παραδείσου.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἰάσεων ὡς ποταμὸν καὶ κρήνην τῶν χαρίτων,
λειψάνων σου κεκτήμεθα Γεώργιε τὴν θήκην.

**Χαίροις Μάρτυς Γεώργιε**

Σαρκὸς βασάνους ὑποστὰς πικράς τε ἀλγηδόνας,
ἀγάλλει ἐν τῷ πνεύματι Γεώργιε ἀλήκτως.

**Χαίροις Μάρτυς Γεώργιε**

Πατρίς σου χαίρει ἄμετρα κλεινὴ Καππαδοκία,
καὶ Λύδδα συναγάλλεται Γεώργιε σῇ μνήμῃ.

**Χαίροις Μάρτυς Γεώργιε**

Ῥημάτων κατελόγησας τῶν δυσσεβῶν τυράννων,
λόγοις ὑπείκων τοῦ Θεοῦ Γεώργιε καὶ Λόγου.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἑκατοστεύοντα καρπὸν ἔδωκας μαρτυρίου,
ὡς στάχυς ἱερώτατος Γεώργιε Κυρίῳ.

**Χαίροις Μάρτυς Γεώργιε**

Σταυρῷ τὸν ὑφαπλώσαντα θελήματι παλάμας,
προθύμως ἠκολούθησας Γεώργιε ἐν βίῳ.

**Χαίροις Μάρτυς Γεώργιε**

Βασιλικὸν ἐνδέδυσαι Γεώργιε χιτῶνα,
ὡς Οὐρανίου Ἄνακτος τίμιος στρατιώτης.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἐνίκησας τοὺς δυσμενεῖς Γεώργιε τυράννους,
νίκην διὸ τὴν ἀληθῆ, ἡμῖν ἐπιβραβεύεις.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἱλαρωτάτῃ σου ψυχῇ στέρξας Θεὸν τῶν ὅλων,
καθιλαρύνεις τὰς ψυχὰς τῶν πόθῳ σε τιμώντων.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἀγγέλων τὰ στρατεύματα συμφώνως ἐπεκρότουν,
τῶν ἄθλων σου τὰ τρόπαια Γεώργιε γενναῖε.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἰταμοτάτων δυναστῶν τὸ θράσος κατεβάλλου,
Γεώργιε φρονήματι στεῤῥῷ καὶ θαρσαλέῳ.

**Χαίροις Μάρτυς Γεώργιε**

Σαρκός σου τὸ χιτώνιον ἐν αἵμασι φοινίξας,
ψυχήν σου κατελεύκανας Γεώργιε ἐνθέως.

**Χαίροις Μάρτυς Γεώργιε**

Σιὼν τὴν ἐπουράνιον Γεώργιε λαμπρύνεις,
ὡς λίθος χρυσαυγέστατος τῆς θείας ἐκκλησίας.

**Χαίροις Μάρτυς Γεώργιε**

Κηρύξας ὦ Γεώργιε Θεὸν φωνῇ μεγάλῃ,
σάλπιγξ πανεύηχος Αὐτοῦ τοῖς πέρασιν ἐγένου.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἐνέκρωσας Γεώργιε δράκοντα δόρατί σου,
τὴν τυραννίδα τῶν παθῶν διὸ ἀπόκτεινόν μου.

**Χαίροις Μάρτυς Γεώργιε**

Πτέρυξι πανιέροις σου τῶν παμμεγίστων ἄθλων,
εἰς οὐρανοῦ Γεώργιε ἀνῆλθες θεία ὕψη.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἐν πέτρᾳ θείων ἐντολῶν ἐρηρεισμένος Μάρτυς,
Χριστὸν λίθον ἀκρόγωνον Γεώργιε δοξάζεις.

**Χαίροις Μάρτυς Γεώργιε**

Μέλη σαρκὸς τιμίας σου διὰ Χριστὸν ἐκόπης,
ὅθεν Αὐτῷ Γεώργιε συνεῖς εἰς τοὺς αἰῶνας.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἐν τῇ ἀσβέστῳ ἐμβληθεὶς ἄτρωτος ἐφυλάχθης,
Θεόν τε ἐμεγάλυνες Γεώργιε ἐν ὕμνοις.

**Χαίροις Μάρτυς Γεώργιε**

Γηθόμενος Γεώργιε ἔφερες τὰς βασάνους,
χαρᾶς διόπερ ἀληθοῦς ἀπαύστως ἀπολαύεις.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἐν τῷ πυρὶ δοκιμασθεὶς δεινῶν πειρατηρίων,
νῦν καθαρότερος χρυσοῦ Γεώργιε ὑπάρχεις.

**Χαίροις Μάρτυς Γεώργιε**

Ὡράϊσας Γεώργιε ψυχήν σου ἐν οἰκίαις,
κάλλος ἐράσμιον Θεοῦ νῦν δὲ ὁρᾷς ἀμέτρως.

**Χαίροις Μάρτυς Γεώργιε**

Ρεἰθροις αἱμάτων σου τὴν γῆν Γεώργιε ἀρδεύσας,
βότρυν ἀπέδωκας γλυκὺν ἐνδόξων παλαισμάτων.

**Χαίροις Μάρτυς Γεώργιε**

Γαλήνιον σὲ ἔγνωμεν Γεώργιε λιμένα,
ὡς διελθῶν νικητικῶς κλύδωνα τῶν βασάνων.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἰσχύϊ δυναμούμενος Σταυροῦ τοῦ νικηφόρου,
διέμεινας Γεώργιε ἄθραυστος ὡς ἀδάμας.

**Χαίροις Μάρτυς Γεώργιε**

Εἰδώλων ξόανα γλυπτὰ κατέῤῥαξας εἰς τέλος,
Γεώργιε καὶ ὕψωσας Θεὸν τὸν ἐν Τριάδι.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἐφώνησας Γεώργιε νεκρὸν τὸν ἀπ' αἰῶνος,
ὡς ὁ Δεσπότης σου Χριστὸς τοῦτον ἐξαναστήσας.

**Χαίροις Μάρτυς Γεώργιε**

Ναμάτων σὲ ζωοποιῶν κρήνην ἐπιγινώσκω,
χαρίτων τε Γεώργιε ἀκένωτον κρατῆρα.

**Χαίροις Μάρτυς Γεώργιε**

Βραβεῖα τὰ οὐράνια Γεώργιε ἐδέξω,
χειρὶ τοῦ πλαστουργήσαντος ἐκ γῆς σε φιλανθρώπως.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἰχώρας σου μαρτυρικοὺς ἀσπάζομαι ἐν πόθῳ,
καὶ τὸν τροχὸν Γεώργιε τιμῶ ἐν εὐλαβείᾳ.

**Χαίροις Μάρτυς Γεώργιε**

Ὠνούμενος Γεώργιε τοῦ οὐρανοῦ τὰ πλούτη,
τοὺς θησαυρούς μοι δώρησαι τοὺς μὴ παλαιουμένους.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἰχνηλατήσας τοῦ Χριστοῦ Γεώργιε τὸ πάθος,
πόνους ὑπέστης τῇ σαρκὶ στοργῇ ἐν ἀκορέστῳ.

**Χαίροις Μάρτυς Γεώργιε**

Σέλας ὁρῶν τρισήλιον ἐν ἀπροσίτῳ δόξῃ,
ψυχῆς μου κόρας αὔγασον Γεώργιε εὐχαῖς σου.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἰθύνας πρὸς τὸν ἄκλυστον λιμένα σὴν ὁλκάδα,
εἰρήνην ἡμῖν βράβευσον τὴν μὴ σαλευομένην.

**Χαίροις Μάρτυς Γεώργιε**

Δεσμούμενος τοὺς πόδας σου ἐν σιδηραῖς κρηπῖσι,
Γεώργιε διέδραμες ὁδὸν ἐν εὐφροσύνῃ.

**Χαίροις Μάρτυς Γεώργιε**

Ὡς ἔαρ ἀνατέταλκε πικρὸν χειμῶνα λύων,
Γεώργιος τῆς πίστεως τῆς ἀμωμήτου ἄνθος.

**Χαίροις Μάρτυς Γεώργιε**

Ῥάνον τὸν ὄμβρον δαψιλῶς ψυχῇ μου τῇ ἀνίκμῳ,
Γεώργιε ὁ τὸν αὐχμὸν εἰδώλων καταπαύσας.

**Χαίροις Μάρτυς Γεώργιε**

Ἀγγελικαῖς σὺν στρατιαῖς Θεῷ τῶν ὅλων ᾄδων,
Γεώργιε τοὺς ὕμνους μου προσδέχου εὐαρέστως.

**Χαίροις Μάρτυς Γεώργιε**

www.tezaurliturgic.ro

Συνῶν τῷ Πανοικτίρμονι Θεῷ εἰς τοὺς αἰῶνας,
σύναψον τούτῳ καὶ ἡμᾶς Γεώργιε εὐχαῖς σου.

**Χαίροις Μάρτυς Γεώργιε**

## Δίστιχα ἀκροτελεύτια.

Πρεσβείαις ἀκοιμήτοις σου Γεώργιε τρισμάκαρ,
κοίμησον τυραννοῦντα με θανατηφόρα πάθη.

Ἀνάστασίν μοι δώρησαι ζωήν τε αἰωνίαν,
ὁ Ἀναστάσεως γευθεὶς Γεώργιε τὸ πόμα.

Χάριν μοι δὸς καὶ ἔλεος καὶ τῶν πταισμάτων λύσιν,
ὡς παρεστὼς Γεώργιε τῷ θρόνῳ τοῦ ἐλέους.

Φωνῆς μου ταύτης ἄκουσον σοὶ κράζει Ἰσιδώρα,
ἡ ἐκζητοῦσα σὴν θερμὴν Γεώργιε πρεσβείαν.

Συνεκβοᾷ Γεώργιος ὁ θεῖος Ἀναγνώστης,
χαρμονικῶς ἐπικροτῶν τὴν ἱεράν σου μνήμην,

Σὺν τούτοις πάντων πρόστηθι κλεινὲ τροπαιοφόρε,
τρόπαια δὲ ἀξίωσον ἔνθεα ἐπιγράφειν.